# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: lcw-ae

*Νίκανδρος ὁ Κολοφώνιος* · Nicander of Colophon

## Epigrams

*Ἐπιγράμματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 435.1.1 Εὐπυλίδας, Ἐράτων, Χαῖρις, Λύκος, Ἆγις, Ἀλέξων,
book 435.1.2 ἓξ Ἰφικρατίδα παῖδες, ἀπωλόμεθα
book 435.1.3 Μεσσάνας ὑπὸ τεῖχος· ὁ δ’ ἕβδομος ἄμμε Γύλιππος
book 435.1.4 ἐν πυρὶ θεὶς μεγάλαν ἦλθε φέρων σποδιάν,
book 435.5 Σπάρτᾳ μὲν μέγα κῦδος, Ἀλεξίππᾳ δὲ μέγ’ ἄχθος
book 435 ματρί· τὸ δ’ ἓν πάντων καὶ καλὸν ἐντάφιον.
book 526.1.1 Ζεῦ πάτερ, Ὀθρυάδα τίνα φέρτερον ἔδρακες ἄλλον,
book 526.1.2 ὃς μόνος ἐκ Θυρέας οὐκ ἐθέλησε μολεῖν
book 526.1.3 πατρίδ’ ἐπὶ Σπάρταν, διὰ δὲ ξίφος ἤλασε πλευρᾶν
book 526.1.4 δοῦλα καταγράψας σκῦλα κατ’ Ἰναχιδᾶν;
book 503b.1 Ἵπποι γὰρ σφηκῶν γένεσις, ταῦροι δὲ μελισσῶν.